ἀμφότεροι ἔσονται τοῦ γέροντος ἀσυνδέτως εἰρημένοι. ἄλλως. δεικνύει τὸν μέσον δάκτυλον αἰσχρῶς, οὐδεὶς φήσει A ὡς ἔστιν ἄλλως ἀντὶ τούτου τοῦ δακτύλου. καὶ γὰρ παιδίῳ μοι ὄντι πάλαι ὁ αὐτὸς ἦν. καὶ νῦν δὲ γεγηρακότι.

Κριός. τράγος. ταῦρος. κύων. ἀλεκτρυών.
Σωκρ. Ὁρᾷς ἃ πάσχεις; τήν τε θήλειαν καλεῖς
Ἀλεκτρυόνα κατὰ ταυτὸ καὶ τὸν ἄρρενα.
Στρ. Πῶς δὴ φέρε; Σω. πῶς; ἀλεκτρυὼν κἀλεκτρυών. B
Στρ. Νὴ τὸν Ποσειδῶ. νῦν δὲ πῶς με χρὴ καλεῖν;
Σω. Ἀλεκτρύαιναν. τὸν δ' ἕτερον ἀλέκτορα.
Στρ. Ἀλεκτρύαιναν; εὖγε νὴ τὸν ἀέρα.
Ὥστ' ἀντὶ τούτου τοῦ διδάγματος μόνου,
Διαλφιτώσω σου κύκλῳ τὴν κάρδοπον.
Σω. Ἰδοὺ μάλ' αὖθις τοῦθ' ἕτερον. τὴν κάρδοπον.
Ἄρρενα καλεῖς θήλειαν οὖσαν. Στρ. τῷ τρόπῳ C
Ἄρρενα καλῶ 'γὼ κάρδοπον; Σω. μάλιστά γε.
Ὥσπερ γε καὶ Κλεώνυμον. Στρ. πῶς δή; φράσον.
Σω. Ταὐτὸν δύναταί σοι κάρδοπος Κλεωνύμῳ.
Στρ. Ἀλλ' ὦ 'γάθ' οὐδ' ἦν κάρδοπος Κλεωνύμῳ
Ἀλλ' ἐν θυείᾳ στρογγύλῃ γ' ἀνεμάττετο.
Ἀτὰρ τὸ λοιπὸν πῶς με χρὴ καλεῖν; Σω. ὅπως; D
Τὴν καρδόπην, ὥσπερ καλεῖς τὴν Σωστράτην.
Στρ. Τὴν καρδόπην θήλειαν, ὀρθότερον λέγεις;
Ἐκεῖνο δ' ἦν ἄν, καρδόπη, Κλεωνύμη.
Σω. Ἔτι δή γε περὶ τῶν ὀνομάτων μαθεῖν σε δεῖ.
Ἅττ' ἄρρεν' ἐστίν, ἅττα δ' αὐτῶν θήλεα.
Στρ. Ἀλλ' οἶδ' ἔγωγ' ἃ θήλε' ἐστίν. Σω. εἰπὲ δή. E
Στρ. Λύσιλλα. Φίλιννα. Κλειταγόρα. Δημητρία.
Σω. Ἄρρενα δὲ ποῖα τῶν ὀνομάτων; Στρ. μυρία.
Φιλόξενος. Μελησίας. Ἀμυνίας.
Σω. Ἀλλ' ὦ πόνηρε. ταῦτά γ' ἔστ' οὐκ ἄρρενα.

*Aries, taurus, hircus, canis & gallus.* SO. *viden'*
*Obsecro, quid ægri acciderit tibi? nam fœminam*
*Maremque vno galli nomine tu appellitas.*
ST. *Dic, quomodo?* SO. *Quomodo? gallus & gallus itidem.*
ST. *Ita per Neptunum: sed quomodo me oportuit*
*Hæc nominare?* SO. *Gallinam, & gallum alterum.*
ST. *Gallinam? ita est per aëra. Et pro hoc vnico*
*Documento ego farina conspergam omnem tibi*
*Nunc Cardopum, seu mactram tuam pistoriam.*
SO. *Ecce autem iterum peccas: cùm dicis Cardopum:*
*Marémque facis, quæ sit fœmina.* ST. *quomodo marem*
*Voco Cardopum?* SO. *videlicet, vt Cleonymum*
*Marem vocas.* ST. *dic, quomodo?* SO. *quia Cardopus*
*Idem tibi valet prorsum, quod Cleonymus.*
ST. *Atqui, bone vir, Cleonymo haud est Cardopus:*
*Vt qui farinam subigit in mortario.*
*Sed quomodo posthac nominari oportet hæc?*
SO. *Quomodo? dic* Cardopam: *ceu dicis, Sostratam.*
ST. *An verò rectiùs vocas hanc* Cardopam?
*At illud erat dicere* Cardopa, *Cleonyma.*
SO. *Præterea oportet te etiam discere nomina,*
*Quæ masculina, quæque fœminina sint.*
ST. *At noui ego, quæ sint fœminina.* SO. *dic, age.*
ST. *Lysilla, Philinna, Cletagora, Demetria.*
SO. *Sed quænam masculina sunt?* ST. *innumera: ceu:*
*Philoxenus, Milesias, Amynias.*
SO. *Miserum te: non sunt masculina hæc nomina.*

F

Σχόλια. Κύων. ἀλεκτρυών.] ἔπαιξε τὸν ἀλεκτρυόνα ὡς τετράποδα καταριθμήσας. καὶ ταῦτα δὲ γελοίου χάριν παρείληπται. ἢ καὶ πρὸς τὴν ἀθεότητα Σωκράτους ὅτι κατ' αὐτῶν ὄμνυσιν. Ἀλεκτρυόνα κατὰ ταυτό.] οὐκ ἂν ἄλλως λέγοιτο τοῦτο, εἰ μὴ ἐν ἔθει ἦν τότε καὶ τὴν θήλειαν ἀλεκτρυόνα λέγειν. σαφὲς δὲ γίνεται ἐν Ἀμφιαράῳ. γυναῖ τί τὸ ψοφῆσάν ἐστιν. ἡ ἀλεκτρυὼν τὴν κύλικα καταβέβληκεν. οἰμώξουσά γε. καὶ ἐν τῷ Πλάτωνος Δαιδάλῳ. ἐνίοτε πολλαὶ τῶν ἀλεκτρυόνων καὶ ὑπηνέμια G τίκτουσιν ᾠὰ πολλάκις. ὁ δὲ παῖς ἔνδον τὰς ἀλεκτρυόνας τρέφει. οἱ Ἀττικοὶ δὲ οὕτω καὶ τὰς θηλείας ἐκάλουν, καὶ Θεόπομπος, λέγουσι δ' αὐτὴν καὶ ἀλεκτρύαιναν. Νὴ τὸν Ἀέρα.] μιμεῖται καὶ αὐτὸς τοὺς φιλοσόφους, καὶ κατὰ τοῦ ἀέρος ὄμνυσιν. Ὥσπερ καὶ Κλεώνυμον.] σὺ φησὶ τὴν κάρδοπον καλεῖς ἀρσενικῶς δέον θηλυκῶς. ὥσπερ Κλεώνυμον ἄρρενα καλοῦσί τινες, οὐδὲν διαφέροντα τῇ αἰσχύνῃ τῶν γυναικῶν. Ταὐτὸ δύναταί σοι.] ἴσον τὸ αὐτὸ γένος σημαίνει δὲ τὴν κατάληξιν. ὅ ἐστι δοκεῖ σοι ὁμοιοκατάληκτον εἶναι. ἅμα δὲ καὶ ὡς γυναικώδη σκώπτει τὸν Κλεώνυμον, καὶ ὡς ἀδηφάγον διασύρει τῷ ἀλφίτων δεκτικῷ λέγων ὅμοιον. τῶν πολιτευομένων δὲ εἷς ἦν. καὶ ὡς γυναικιζόμενον αὐτὸν οἱ ποιηταὶ διαβάλλουσιν. Ἀλλ' ἐν θυείᾳ.] ἀδηφαγίας ὑπερβολή. ὡς πένητα δὲ καὶ παράσιτον διαβάλλει αὐτόν. καὶ ἀποροῦντα μάκτρας. μάκτρα δὲ ἡ θυεία. ἡ δὲ καρδόπη, μεγάλη. ἀδηφαγίας δὲ ἔχει διαβολὴν κατὰ τοῦ Κλεωνύμου. τρόπον γὰρ μάκτρας ἔνδον ὁ Κλεώνυμος. Τὴν Σωστράτην] πάλιν ἐνταῦθα ὁ ποιητὴς σκώπτει τὸν Σώστρατον Σωστράτην εἰπών, διότι λίαν ἀσελγὴς ἦν καὶ θηλυδρίας. Καρδόπη Κλεωνύμη.] τοῦτον ἤδη ὡς κίναιδον διασύρει, ἐπεὶ ῥίψασπις καὶ δειλός. ἐν ἐρωτήσει δὲ ὁ λόγος καὶ λείπει τὸ ὡς. ἵν' ᾖ ἐκεῖνο δ' ἦν ὀρθῶς, ὡς Καρδόπη καὶ Κλεωνύμη λέγειν. ὅμοιον δὲ ἦν τὸ λέγειν Καρδόπην ὡς Κλεωνύμην.

Στρ. Οὐκ